UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Salomoni. 433.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Σολόμωνι. υλγ.

Εἰ μέμηνε καὶ λυττᾷ κατὰ σοῦ ἡ ὄρεξις τῆς σαρκός σου, καὶ καύσων ῥαθυμίας αὐτὴν ἐξεθέρμανας, ὑπόμνησον αὐτὴν τοῦ μέλλοντος πυρός, καὶ σβεσθήσεται. ἡ γὰρ ἐνταῦθα τῆς πορνείας πυράκτωσις, πρὸς ἐκείνην βλέπει τὴν κάμινον.

Κρίσπῳ. υλδ.

Εἰ καὶ ἑάλως τῷ τῆς φιλαργυρίας ἰῷ, ὅσπερ καὶ παντός ἐστι ῥίζα κακοῦ, καὶ πρὸς εἰδωλολατρείαν ἐκβακχεύει σε, πᾶσαν πρὸς ἑαυτὸν μεταστήσας τὴν αἴσθησιν, ἀλλ' ἀπόκριναι αὐτῷ τὴν θεοδίδακτον φωνήν, Κύριον τὸν θεόν μου προσκυνήσω, καὶ αὐτῷ μόνῳ λατρεύσω. καὶ ὁ μὲν οἰχήσεται, σὺ δὲ ἀνανήψεις πρὸς τὴν αὐτάρκειαν.

Ἀγαθοδαίμονι. υλε.

Ἐσκλήρυνας ἐρευνῶν τὴν τῶν μοναχῶν καὶ ἱερέων ζωήν, τὸ ἀναμάρτητον ζητῶν ἐν αὐτῇ, ὅπερ μόνου ἐστὶ θεοῦ, καὶ τοῦτο ἐν ἀνθρώποις ὁ κατορθῶν οὐχ ὑπάρχει. εἰ δὲ πρέποντα τῇ φύσει ἐθέλεις ζητεῖν τὸ μηδενὸς ἐφάπτεσθαι τῶν κατὰ γνώμην ἀδικημάτων, ὅπερ ἐστὶν ἀνθρώπου εὐαγοῦς, καὶ τὸ μὴ πολλοῖς περιπίπτειν τῶν ἀκουσίων, ὅπερ οἰκεῖον τῶν ἐγγίσαι θεῷ βουλομένων. καὶ τὸ ἧττον μὲν ἐκείνων, ῥᾷστον δὲ πολλοῖς, τὸ μὴ ἐπὶ μήκιστον ἐμμένειν τοῖς ἁμαρτήμασι.

Ζωσίμῳ. υλϛ.

Ἡ ὑπὲρ τῶν ἀνθρωπίνων ἁμαρτιῶν γενομένη παιώνειος τοῦ υἱοῦ τοῦ θεοῦ ἔνσαρκος ἐπιφάνεια. πάντας μὲν ἐφόβησε καὶ ἀνθρώπους καὶ δαίμονας, τοὺς μὲν φείδεσθαι τῆς φύσεως πείσασα, ὡς θεῷ ἑνωθείσης. τοὺς δὲ ἀπέχεσθαι τῆς κατ' αὐτῆς ἐπιβουλῆς ἀναγκάσασα, ὡς ἀναμαρτήτου λοιπὸν γενο-

Salomoni. 433.

Si carnis tuæ cupiditas aduerſum te furit, ac rabido impetu fertur, eámque inertiæ ac deſidiæ æſtu inflammaſti, ignis futuri memoriam ipſi refrica : & extinguetur. Siquidem libidinoſum huius vitæ incendium ad fornacem illam tendit.

Criſpo. 434.

Si auaritiæ veneno, quod quidem mali omnis radix eſt, téque ſenſibus omnibus ad ſe tranſlatis, ad idolorum cultum incitat, captus es, vocem hanc diuinitus traditam ipſi reſponde, Dominum Deum meum adorabo, & ei ſoli ſeruiam. Atque illa quidem abibit: tu verò recepta meliori mente id aſſequeris, vt eo, quod ſatis ſit, contentus ſis.

Agathodæmoni. 435.

Obduruiſti, Monachorum ac Sacerdotum vitam perſcrutans, atque eiuſmodi in ea ſtatum, qui ab omni peccato alienus ſit, quærens. Quodquidem ſolius Dei eſt: nec, qui id conſequatur, mortalium quiſquam eſt. Si autem ea, quæ naturæ congruant, inueſtigare cupis, hæc ſunt : Nullum voluntarium ſcelus attingere : quod quidem pij hominis eſt. Non in multa inuoluntaria peccata incidere: quod eorum proprium eſt, qui ad Deum appropinquare ſtudent. Et (qoud illis inferius eſt, ac multis perfacile) non quàm diutiſſimè in peccatis permanere.

Zoſimo. 436.

Salutaris Filij Dei in carne apparitio, quæ delendorum humanorum peccatorum cauſa extitit, omnes, & homines, & dæmones perterrefecit: illis nimirum, vt naturæ, tanquam iam Deo copulatæ, parcerent, perſuadens: hos autem, vt ab inſidiis ipſi, tanquam iam à peccato alienæ redditæ, comparandis abſtinerent, cogẽs.